ἰχθύων ἀπέχεϲθαι ἄχρι τῶν Μενάνδρου χρόνων τοῦ κωμικοῦ διέμεινεν· λέγει γάρ·

παράδειγμα τοὺϲ Cύρουϲ λαβέ·
ὅταν φάγωϲ' ἰχθῦν ἐκεῖνοι, διά τινα
αὑτῶν ἀκραϲίαν τοὺϲ πόδαϲ, τὴν γαϲτέρα
οἰδοῦϲιν· εἶτ' ἔλαβον ϲακίον, εἰϲ τὴν ὁδὸν
ἐκάθιϲαν αὑτοὺϲ ἐπὶ κόπρου καὶ τὴν θεὸν
ἐξιλάϲαντο τῶι ταπεινῶϲθαι ϲφόδρα.

## 794, 795 (547, 548 K)

Strabo vii. 296. ὅρα δ' ἃ λέγει Μένανδροϲ περὶ αὐτῶν οὐ πλάϲαϲ, ὡϲ εἰκόϲ, ἀλλ' ἐξ ἱϲτορίαϲ λαβών·

πάντεϲ μὲν οἱ Θρᾶικεϲ, μάλιϲτα δ' οἱ Γέται
ἡμεῖϲ ἁπάντων—καὶ γὰρ αὐτὸϲ εὔχομαι
ἐκεῖθεν εἶναι τὸ γένοϲ—οὐ ϲφόδρ' ἐγκρατεῖϲ
ἐϲμεν.

καὶ ὑποβὰϲ μικρὸν τῆϲ περὶ ταϲ γυναῖκαϲ ἀκραϲίαϲ τίθηϲι παράδειγμα·

γαμεῖ γὰρ ἡμῶν οὐδὲ εἷϲ εἰ μὴ δέκ' ἢ
ἕνδεκα γυναῖκαϲ· δώδεκ' ἢ πλείουϲ τινέϲ.
ἂν τέτταραϲ δ' ἢ πέντε γεγαμηκὼϲ τύχηι
καταϲτροφῆϲ τιϲ, ἀνυμέναιοϲ ἄθλιοϲ
ἄνυμφοϲ οὗτοϲ ἀποκαλεῖτ' ἐν τοῖϲ ἐκεῖ.